τως οὐδὲ ἡ πεῖρα τὴν ἐμπειρίαν· τί οὖν οὐκ ἀπὸ πείρας ἐπὶ ἐμπειρίαν ἐρχόμεθα καὶ ἀπὸ ἐμπειρίας ἐπὶ τέχνην· φαμὲν ὅτι ναί· ὥστε συμβάλλεται μὲν ἡ πεῖρα πρὸς τὴν ἐμπειρίαν καὶ ἡ ἐμπειρία πρὸς τὴν τέχνην· οὐ μὴν ποιητικά εἰσιν αἴτια· τοῦτο δὲ γίνεται, ἐπειδὴ ἔχομεν τοὺς λόγους τοὺς γνωστικοὺς καὶ ἀνακινοῦμεν· ὥσπερ οὖν τοὺς σπινθῆρας τοὺς πάλαι ὑπὸ τέφρας κρυπτομένους, εἴ τις διαδήλους ποιήσῃ λαβὼν τὴν τέφραν, οὐ λέγεται πεποιηκέναι τὸ φῶς ἀλλὰ δεδειχέναι· καὶ ὁ λήμην ὀφθαλμοῦ καθάρας συνεβάλετο, ἐπεὶ οὐκ ἐποίησεν αὐτὸς τὸ φῶς, οὕτως καὶ οἱ ἐν ἡμῖν λόγοι χρείαν ἔχουσι τοῦ ἀναμιμνήσκοντος· ἀναλογοῦμεν γὰρ γεωμέτρῃ καθεύδοντι, ὥστε οὐκ ἔστι ποιητικὸν ἡ ἐμπειρία. πλὴν εἰ καὶ ὁ Πῶλος μὴ εἰδότως λέγει δυνατὸν τὴν ἐμπειρίαν ποιεῖν τέχνην ὡς ἐπὶ τῆς γεωργίας· τῶν γὰρ γεωργουμένων τὰ μὲν ὑπὸ τοῦ παντὸς μόνου γίνεται, τὰ δὲ καὶ ὑπὸ τοῦ παντὸς καὶ ὑπὸ τέχνης, οἷον αἱ βοτάναι αἱ αὐτομάτως φυόμεναι ὑπὸ μόνου τοῦ παντός, τὰ δὲ σπέρματα καὶ ὑπὸ τοῦ παντὸς καὶ ὑπὸ τῆς ἐπιμελείας. πάλιν δὲ κἀνταῦθα ἡ ἐμπειρία καὶ ἡ ἐπιμέλεια συμβάλλεται τῇ τέχνῃ.

p. 448c. ἄλλοι ἄλλων ἄλλως.

3 ἰδοὺ τὰ παρισάζοντα· ἑκάστων δὲ τούτων φησὶν ἄλλοι ἄλλων ἄλλως μεταλαμβάνουσι· διὰ μὲν τοῦ ἄλλοι ἐσήμανε τὰ μεταλαμβάνοντα πρόσωπα, διὰ δὲ τοῦ ἄλλων τὰ πράγματα, διὰ δὲ τοῦ ἄλλως τὸν τρόπον τῆς μεταλήψεως· τῶν δὲ ἀρίστων φησὶ πραγμάτων, οἱ ἄριστοι ἄνδρες μεταλαμβάνουσι· τούτων τοίνυν τῶν ἀρίστων καὶ ὁ Γοργίας ἐστὶν καὶ μετέχει τῆς καλλίστης τῶν τεχνῶν καὶ ἀρίστης.

p. 448d. καλῶς γε, ὦ Γοργία, φαίνεται Πῶλος.

4 ἐρωτήσαντος τοῦ Χαιρεφῶντος τὸν Πῶλον· τίς ἐστιν ἡ τέχνη, ἣν ἐπαγγέλλεται ὁ Γοργίας, ὁ Πῶλος παρὰ θύρας ἀπαντᾷ λέγων, ὅτι θαυμαστή ἐστιν ἡ ῥητορικὴ καὶ θεατρικώτερον μᾶλλον ἢ διαλεκτικώτερον· ἐπεὶ οὖν ὁ Πῶλος ἀτάκτως ἀπεκρίθη, ὁ Σωκράτης τὴν πρόνοιαν μιμούμενος, τὴν τάττουσαν τὰ ἄτακτα καὶ μηδὲν ἐῶσαν ἄτακτον ἢ ἀόριστον, τάττει καὶ ἐπιπλήττει, καὶ ἐπειδὴ οἶδεν ἡ ἐπίπληξις σφόδρα